ἀναγκάσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ἐπὶ τῷ ὀρθῷ
τύπῳ τῶν γραφῶν· ἔργῳ δεδήλωκεν, ὡς ὅτι ὑπ' ἑ-
αυτοῦ σπουδάζων τοῦτο ποιεῖ. οἱ μὲν οὖν ἀποστάται
εἰσὶν, Ἄρειος· Ἀχιλλᾶς· Αἰθαλῆς· καὶ Καρπώνης·
καὶ ἕτερος Ἄρειος· καὶ Σαρμάτης· καὶ Εὐζώϊος·
καὶ Λούκιος· καὶ Ἰουλιανός· καὶ Μηνᾶς· καὶ Ἑλλά-
διος· καὶ Γάϊος· καὶ σὺν αὐτοῖς Σεκοῦνδος καὶ Θε-
ωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. ἃ δὲ παρὰ
τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν, ἐστὶ ταῦτα· οὐκ ἀεὶ
ὁ θεὸς πατὴρ ἦν· ἀλλ' ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν· οὐκ ἀεὶ
ἦν ὁ τοῦ θεοῦ λόγος· ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν· ὁ
γὰρ ὢν θεὸς, τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε·
διὸ καὶ ἦν ποτε ὅτε οὐκ ἦν· κτίσμα γάρ ἐστι καὶ ποίημα
ὁ υἱός· οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν· οὔτε
ἀληθινὴ σοφία αὐτοῦ ἐστιν· ἀλλ' εἷς μὲν τῶν ποιη-
μάτων καὶ γενητῶν ἐστι· καταχρηστικῶς δὲ λόγος
καὶ σοφία γενόμενος· καὶ αὐτὸς δὲ αὐτῷ τῷ ἰδίῳ
τοῦ θεοῦ λόγῳ καὶ τῇ ἐν τῷ θεῷ σοφίᾳ ἐστίν· ἐν ᾗ καὶ
τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός· διὸ καὶ τρεπτός
ἐστι καὶ ἀλλοιωτὸς τὴν φύσιν, ὡς καὶ πάντα τὰ
λογικά· ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισ-
μένος ἐστὶν ὁ λόγος τῆς τοῦ θεοῦ οὐσίας· καὶ ἄρρη-
τός ἐστιν ὁ πατὴρ τῷ υἱῷ· οὔτε γὰρ τελείως ὁρᾶν δύ-
ναται τὸν πατέρα ὁ λόγος, οὔτε τελείως καὶ ἀκρι-
βῶς γινώσκει αὐτόν· καὶ γὰρ ἑαυτοῦ τὴν οὐσίαν

http://digital.slub-dresden.de/ppn345504569/21